(αψε)

κ(αὐτὸς προεθέσπιζεν, ἐβεβαίου τὴν ἀνάστασιν, τοὺς δὲ
προλαβόντας εἰς θέαν αὐτοῦ καταστῆναι, ἀπ' οὐδενὸς
τῶν εἰρημένων ἑαυτὸν ἀνακαλύπτων, οὐδ' ὑποβάλλων
εἰς ἐπιτίμησιν, ἀπό γε τῶν προφητῶν καὶ τοῦ Μωσέως
τότε ἔγκλημα τούτοις ὑφαίνει, καὶ τὴν ἄγνοιαν τῆς αὐτῶν
ψυχῆς, ἅμα καὶ τῶν ὀμμάτων ἀποσκευάζεται. Καὶ τούτῳ
ἐξαίρετον εἰς ἰσχὺν καὶ ἀξίωμα. Ἐν οἷς μὲν ἐχρήσατο πρὸς
διδασκαλίαν καὶ ἔλεγχον τοῖς αὐτοῦ λόγοις καὶ παθήμασι, καὶ
τὴν Μωσαϊκὴν καὶ προφητικὴν μαρτυρίαν συνεφήρμοσεν.
Ἐν οἷς δὲ διὰ τῶν προφητικῶν καὶ Μωσαϊκῶν ῥημάτων
τὰ πάθη καὶ τὴν δόξαν αὐτοῦ καὶ τὴν ἀνάστασιν ἀπεκά-
λυπτεν, ἠρκέσθη τούτοις, οὐδὲν ἐπιδεηθεὶς τῆς ἀπὸ τῶν
ἄλλων βεβαιώσεως. Τοσοῦτον ἤδη τῶν προφητικῶν λο-
γίων καὶ Μωσαϊκῶν τὸ τῆς ἀληθείας κράτος, καὶ τῆς ὠ-
φελείας τὸ μέγεθος. Οὐχ ὅτι ταῦτα ἐκείνων προῆγεν,
ἀλλ' ὅτι περ ἐπὶ τοσοῦτον ἐμεθώδευε τοὺς ἐν τῷ νόμῳ
χρησμοὺς συναπολαύειν τῆς τῶν ἐκβεβηκότων σεβα-
σμιότητός τε καὶ δυνάμεως. Τοῖς μὲν γὰρ ἤρκει χάρις
l. κόσμον ἡ οἴκοθεν, τοῖς δὲ προσέδει κόσμος ἀνάγειν εἰς τὴν
ἐκείνων εὐγένειαν. Ἀλλ' οὐδὲν ἔστιν, ὅσοι αὐτῶν τῶν
» δεσποτικῶν ῥημάτων ἀκούειν. Λέγει γάρ. Ὦ ἀνόητοι καὶ
» βραδεῖς τῇ καρδίᾳ τοῦ πιστεύειν ἐπὶ πᾶσιν, οἷς ἐλά-
» λησαν οἱ προφῆται. Ἀκούεις, πῶς, τὴν ἐπιτίμησιν διὰ
» τῶν προφητῶν ἐπάγει; Εἶτα οὐχὶ ταῦτα ἔδει παθεῖν
» τὸν Χριστόν, καὶ εἰσελθεῖν εἰς τὴν δόξαν αὐτοῦ; (Τὴν δό-
ξαν οἱ προφῆται τοῦ σωτῆρος κηρύττουσι καὶ σὺ πρὸς
l. κἀκεῖνον τὴν ἑκατέρην αὐτοὺς, μᾶλλον δὲ κἀκείνων ἀπελαύ-
νεις